**0295-0373 - Athanasius Alexandrinus - Magnus - Sermo ad Antiochum ducem**

**This text belongs to the Thesaurus Linguae Graecae (TLG®), a Research Center at the University of California, Irvine, which digitized it and owns the relevant ©Copyright. On May 15, 2008, Prof. M. Pantelia, the Director of the Center, has expressly authorized www.documentacatholicaomnia.eu to post it into our site. Cooperatorum Veritatis Societas thanks the prof. Pantelia, the Center, and the University of California, Irvine, of having granted the opportunity to make publicly available this text of high quality, serial number '2035 076 '.**

Charset and format of the text have been changed in order to make it possible the computation of analytic indexes and concordances. Analytical indexes and concordances have been made by the Cooperatorum Veritatis Societas.

Sermo ad Antiochum ducem

[00001] ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΑΘΑΝΑΣΙΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ, ΠΡΟΣ ΑΝΤΙΟΧΟΝ ΑΡΧΟΝΤΑ.

[00002] Σκοπήσωμεν, ηὐλογημένε τοῦ Θεοῦ ἄνθρωπε, ἐπὶ πᾶσι, διὰ πᾶσι καὶ πρὸ πάντων, πῶς περιπατοῦμεν, καὶ τί περὶ ἑαυτῶν βουλευόμεθα·

[00003] πολλοὺς γινώσκον τες τῶν παρ' ἡμῶν γινομένων τε καὶ νοουμένων ἀοράτους παρίστασθαι μάρτυρας, οὐκ εἰς τὸ φαινόμενον βλέποντας μόνον, ἀλλ' ἐπ' αὐτὰς παρακύπτοντας τὰς ψυχὰς καὶ τὸ κρυπτὸν διελέγχοντας τῆς καρδίας.

[00004] Πολλοὶ γὰρ ὡς ἀληθῶς πανταχόθεν ἀγγελικῶν δυνά μεων ἡμᾶς παρειστήκεισαν, τὰ λεγόμενά τε καὶ γι νόμενα παρ' ἡμῶν, καὶ νοούμενα μέχρι ψιλῆς ἐνθυμήσεως, δι' ἀκριβείας πάσης ἐν οὐρανῷ καταγράφοντες, πρὸς ἔλεγχον ἡμῶν ἐν τῇ φοβερᾷ ἡμέρᾳ τῆς κρίσεως·

[00005] ὅτε πᾶσα τῶν ὁρατῶν ἡ κτίσις, κλονουμένη κατ' ἔπειξιν ἄφατον, πρὸς τὴν οἰκείαν ὠθεῖται συν τέλειαν·

[00006] καὶ ὁ οὐρανὸς καὶ ἡ γῆ ῥιζηδὸν παρελεύσεται, καὶ τὰ διὰ μέσου στοιχεῖα καυσούμενα λυθήσονται·

[00007] καὶ Παλαιὸς ἡμερῶν καθέξεται, καὶ βίβλοι ἀνοίγονται, τῶν ἡμετέρων ἔργων τε καὶ λόγων καὶ νοημάτων τὰ ἔγγραφα, πιστῶς τε καὶ ἀνοθεύτως ἔχουσι.

[00008] Χίλιαί τε χιλιάδες λειτουργοῦσιν αὐτῷ, καὶ μύριαι μυριάδες παρειστήκεισαν αὐτῷ, καὶ ἀπειλὴ πυρὸς πανταχοῦ διατρέχουσα καὶ τὰ κύκλῳ πάντα περιλαμβάνουσα, καὶ ὄρη ὡσεὶ κηρὸν ἐκτήκουσα·

[00009] ποταμὸς γὰρ πυρὸς εἷλκεν ἔμπροσθεν αὐτοῦ·

[00010] ἡνίκα τάρταρος καὶ βόθρος ἀχανὴς καὶ ἀνείκαστος, καὶ σκότος ἐξώτερον, καὶ σκώληξ ἀκοίμητος, ἀναδειχθῶσι παρόντα.

[00011] Καὶ ὁ ἐπ' αὐτὰς φόβος εἱστήκει μετέωρος, ἐκδεχομένων τὴν ἔκβασιν·

[00012] καὶ ὀργῆς ἄγγελοι κολαστικοὶ, πῦρ ἀποστίλβοντες, πῦρ τε βλέποντες, καὶ πῦρ ἀναπνέοντες, ἕτοιμοι εἰς πᾶσαν ἐκδίκησιν πάσης παρανομίας ἑστήκασι.

[00013] Πᾶσά τε πρὸς τούτοις κτίσις ἐπί γειός τε καὶ ἐπουράνιος, ὅση τε ἐν ἀγγέλοις καὶ ταῖς ὑπὲρ ἀγγέλοις δυνάμεσι, καὶ ὅση ἐν οὐρανοῖς παρίστανται μετὰ τρόμου τὴν φοβερὰν τῆς θείας βουλῆς ἐκδεχόμενοι φανέρωσιν.

[00014] Ἐφ' ὧν κατειόντων ἡμῶν, ἀναγνωσθήσονται πράξεις, καὶ τῶν κρυπτῶν γύμνωσις γενήσεται·

[00015] ὥστε πάντας οὕτως γινώσκειν ἀλλήλων τὰς ἁμαρτίας·

[00016] ὡς ἕκαστος τὰς ἑαυτοῦ, τὴν βίβλον ἀναγινώσκειν τῆς ἑαυτοῦ συνειδήσεως.

[00017] «Ἐλέγξω σε» γὰρ, φησὶ, «καὶ παραστήσω κατὰ πρόσωπόν σου» τὰς ἁμαρτίας σου·

[00018] καὶ πάλιν, «Κυκλώσει αὐτοὺς τὰ διαβούλια αὐτῶν.».

[00019] Καὶ ἰδοὺ ἄνθρωπος καὶ τὸ ἔργον αὐτοῦ, καὶ δικαστὴς ἀπαραλόγιστος, παρισταμένην ἔχων τὴν μεγαλοπρεπῆ τῶν οὐρανίων ταγμάτων δύναμιν, ὑψηλῶς προκαθέζεται πᾶσαν ἀπαστράπτων δικαιοσύνην, καὶ ἑκάστῳ δι' ἀποδόσεως ἀληθοῦς καὶ δικαίας νέμων τὰ πρὸς ἀξίαν, τοῖς μὲν ἐκ δεξιῶν διὰ τὰς καλὰς πράξεις σταθήσιν προσ [28.592] ηνὴς πράως ἐπιεικὴς, τὴν ἡτοιμασμένην ἀπὸ κα ταβολῆς κόσμου βασιλείαν διδούς·

[00020] τοῖς δὲ ἐξ εὐωνύ μων διὰ τὴν ἐρημίαν τῶν ἀγαθῶν ἔργων στάσει λαχόντας, εἰς τὸ αἰώνιον πῦρ, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ, μετ' ὀργῆς ἀπωθούμενος.

[00021] Τίς ἐκεῖνο τὸ πῦρ ἐνέγκοι μενόμενον;

[00022] τίς οὐ καταπτήσσει τὸ ξένον ἐκεῖνο τοῦ σκώληκος θέαμα;

[00023] Τίς τοῦ σκότους ἐκείνου τοῦ ἐξωτέρου τὸ παχύν τε ὁμοῦ καὶ βαρὺν φέρειν δυνήσεται;

[00024] Τίς μυ κώμενον τὸν τάρταρον, καὶ ἐκ πυθμένος αὐτῷ συμβραζομένην τὴν ἄβυσσον ὑποστήσεται;

[00025] Τίς τῶν ἐπὶ τοῦτο τεταγμένων ἀγγέλων τὸ βλοσυρόν τε καὶ δριμὺ τοῦ βλέμματος, καὶ τοῦ προσώπου τὸ κατηφὲς οὐχ ὑποτρέμει δονούμενον;

[00026] Τίς τὸ πάντων δεινότε ρον τῶν κακῶν, τὴν ἀποστροφὴν τοῦ προσώπου τοῦ φύσει πράου καὶ φιλανθρώπου Θεοῦ καὶ οἰκτίρμονος οὐ φοβηθήσεται;

[00027] Ἅπασα κτίσις συναποστρέφεται καὶ βδελύττεται τοὺς διὰ φιλαπεχθήμονα γνώμην ἑαυτοὺς τοσούτοις κακοῖς περιπείραντας, ἀγανακτοῦσα κατ' αὐτῶν ἐνδίκως, ὡς τοιούτους ἑαυτοὺς φανῆναι τὸν φύσει τε καὶ μόνον φιλάνθρωπον Θεὸν θεασαμένων;

[00028] Τίς τὴν κατὰ συνείδησιν ἀπέραντον αἰσχύνην μέλλου σαν ἔσεσθαι ἐπὶ τῇ φανερώσει τῶν κρυπτῶν ὑποστήσεται;

[00029] Τίς τὸν ἀσίγητον κλαυθμὸν καὶ τὸ πικρὸν ἐκεῖνο δάκρυον, καὶ τὸν βρυγμὸν τῶν ὀδόντων, καὶ τοὺς κωκυτοὺς τῶν ἐν ταῖς βασάνοις πιεζομένων, ἢ τῶν ἐκ τῆς ἀμελείας πόνων, κατὰ μέσης αὐτῶν ἐπικειμένων τῆς καρδίας, καὶ διασμύχοντας δικαίως αὐτῶν, τίς δυνήσεται;

[00030] Τίς τὴν ἐγγινομένην αὐτοῖς στενοχωρίαν ἐκ τοῦ μὴ ἐλπίζειν προθεσμίαν μετα ποιήσεως, καὶ τέλος τῆς ἐπικειμένης κολάσεως, μηδὲ πρὸς τὸ εὐζῆν πάλιν μεταβολὴν ἐκδέχεσθαι, ἢ προσδοκᾷν, ἐξειπεῖν ἐστιν ἱκανός;

[00031] Τελευταῖον γὰρ ἐκεῖνο καὶ μόνον φοβερὸν δικαστήριον, καὶ δίκαιον πλέον ἢ ὅσον ἐπίφοβον·

[00032] καὶ διὰ τὸ τυχὸν φοβερὸν, ὅτι δί καιον, καὶ τὸ πάντας ἑαυτῷ κατὰ τὴν δικαίαν ψῆφον ἐναποκλεῖον τοὺς αἰῶνας.

[00033] Τίς τὰς οἰμωγὰς καὶ τοὺς στεναγμοὺς τοὺς ἐκ μέσης αὐτῶν προσφερομένους τῆς καρδίας, καὶ αὐτῶν καθαπτομένων τῶν μυελῶν, καὶ πικρῶς τὰ σπλάγχνα καταδακνόντων, ἐπὶ νοῦν λαμβάνων δακρύων ἐλεύθερος εἶναι δυνήσεται;

[00034] Τίς τὸν θρῆνον καὶ τὸν ὀλοφυρμὸν ἐνέγκοι χωρὶς καὶ τῆς ἐπ' αὐτῆς κατηφείας, καὶ μεθ' οἵων προσφερομένους τῶν μεταμελείας λόγων τῶν τε πρὸς ἑαυτὸν ἑκάστου τῶν κολαζομένων, καὶ πάντων πρὸς πάντας;

[00035] Τότε γὰρ ἀληθῶς ἐπιγνώμων τῶν ἑαυτοῦ πταισμάτων καθέστηκεν ἕκαστος, ὅτ' ἂν ἐφ' ἑαυτῶν γυμνὰ φανῶσι τὰ πράγματα, καὶ παντὸς κωλύματος ἀπάτης ἐλεύθερα.

[00036] Δικαία ἡ κρίσις σου, ὁ Θεός·

[00037] ἐκάλεσας γὰρ ἡμᾶς, καὶ οὐχ ὑπηκούσαμέν σου·

[00038] λόγους δὲ παρεῖχες ἡμῖν, καὶ οὐ προσέσχομεν·

[00039] τοιγαροῦν ἀλλὰ ἀκύρους ἐποιοῦ μεν τὰς σὰς βουλάς.

[00040] Δικαίως ἦλθεν εἰς ἡμᾶς ἀπώλεια καὶ ὄλεθρος καὶ καταιγὶς καὶ θλίψις καὶ πολιορκία.

[00041] Καὶ νῦν ἡμεῖς ἐπικαλούμεθά σε, καὶ οὐκ εἰσ ακούεις, καὶ ζητοῦμεν παρὰ σοῦ, καὶ οὐχ εὑρίσκομεν ἔλεος.

[00042] Οἱ γὰρ μισήσαντες σοφίαν καὶ λόγον Κυρίου μὴ προσελόμενοι, μηδὲ θελήσαντες Θεοῦ προσέχειν βουλὰς, τοιούτους δρεπόμεθα τοὺς καρποὺς τῶν οἰ κείων σπερμάτων, καὶ τῆς ἑαυτῶν ἀνοίας ἐμπιμπλά [28.593] μεθα·

[00043] Ἀπετύφλωσε γὰρ ἡμᾶς ἡ ἀπάτη τοῦ βίου, καὶ οὐκ ἔγνωμεν μυστήρια Θεοῦ, οὐδὲ μισθὸν εἶναι τὸ σύνολον ἠλπίσαμεν ὁσιότητος·

[00044] καὶ διὰ τοῦτο τρίβοις ἀνομίας ἐνεπλήσθημεν.

[00045] Διωδεύσαμεν δὲ τρίβους ἀβά τους, δηλαδὴ τῆς θείας ἐπισκοπῆς·

[00046] τὴν δὲ ὁδὸν Κυρίου οὐκ ἔγνωμεν.

[00047] Καὶ τίς ὁ πλοῦτος ὃς μετὰ ἀλαζονείας συμβέβληται ἡμῖν;

[00048] παρῆλθεν ἐκεῖνα πάντα ὡς σκιὰ καὶ ὡς ἀγγελία παρατρέχουσα, καὶ ὡς ναῦς διερχο μένη κυμαινόμενον ὕδωρ, ἧς διαβάσης, οὐκ ἔστιν ἴχνος εὑρεῖν, οὐδὲ ἀτραπὸν τροπαίως αὐτῆς ἐν κύμασιν.

[00049] Ἢ ὡς ὀρνέου διαπτάντος ἀέρα, οὐδὲν εὑρίσκεται τεκμήριον πορείας.

[00050] Παρῆλθεν ἐκεῖνα πάντα, τοῦτο τὸ πῦρ ἡμῖν ἀφέντα, κληρονομίαν εἰς πάντας διαμένου σαν αἰῶνας.

[00051] Δικαία ἡ κρίσις σου, ὁ Θεός·

[00052] ταῦτα γὰρ λέγοντες οὐδέποτε παυσόμεθα λοιπόν·

[00053] ἐκαλούμεθα, καὶ οὐχ ὑπηκούομεν·

[00054] ἐνουθετούμεθα, καὶ οὐ προσ έχομεν.

[00055] Περὶ τούτων καθ' ἑκάστην ἡμέραν ἐδιδασκόμεθα τῶν δεινῶν, καὶ κατεφρονοῦμεν τῶν λεγομένων·

[00056] οὐκ ἐλύπει ἡμᾶς τότε κἂν μικρὸν τὰ περὶ τούτων ῥήματα·

[00057] ἐπεὶ οὐκ ἂν σφοδρῶς οὕτως ἐλύπει τὰ πράγματα·

[00058] λῆρος ἡμῖν ἐνομίζετο τὰ νῦν ἡμῶν συνέχοντα τὴν ζωήν.

[00059] Τοῦτο συνεχῶς ἐπᾴδομεν·

[00060] Ὢ τῆς ῥᾳθυ μίας! ὢ τῆς ἀπάτης! ὢ τῶν κακῶν βουλευμάτων! ὢ τῶν πονηρῶν συναλλαγμάτων! ὢ τοῦ θαύματος τῆς ἐπὶ τούτοις τοῦ Θεοῦ δικαίας κρίσεως καὶ ἀπο φάσεως! Πῶς ἑκάστου τῶν ἡμετέρων ἁμαρτημάτων εἴδους πρόσφορον ἡμῖν ἀντέδωκε βάσανον! δι' οἰκτρὰν γὰρ καὶ ἀπόπτυστον σαρκὸς ἡδονὴν, ταύτην ἔχειν τὴν φοβερὰν δικαίως κατεκρίθημεν γέενναν·

[00061] τὸν ζόφον καὶ τὸ σκότος τοῦτο οἰκεῖν κατεκρίθημεν.

[00062] Ἐπειδὴ ἠγαπή σαμεν πάντα τὰ αἰσχρὰ, καὶ πάντων ὁμοῦ τῶν θείων ἀγαθῶν καταφρονήσαντες, τὰ ἱππικὰ καὶ τὰ θέατρα καὶ τὰ κυνηγέσια προετιμήσαμεν, ἐν οἷς δαιμόνων ἐχόρευον δῆμοι, καὶ πᾶσα θεία ἀγγέλων ἀπῆν σκοπιὰ καὶ ἐπίγνωσις.

[00063] Ἔνθα τὸ μὲν σεμνὸν τῆς εὐφροσύνης πολλοῖς καθυβρίζετο τρόποις·

[00064] τὸ δὲ τῆς ἀκολασίας κακόν τε καὶ βδελυρὸν ἐσεμνύνετο.

[00065] Δικαίως τοῦ φωτὸς ἐστερήμεθα νῦν, ὅτι πρὸς δόξαν τοῦ πεποιηκότος Θεοῦ τὴν κτίσιν κατὰ τὴν πρόσκαιρον ἡμῶν ζωὴν οὐκ ἐθεασά μεθα·

[00066] ἀλλ' ἐμολύναμεν τοὺς ὀφθαλμοὺς ἡμῶν καὶ τὰ ὦτα καὶ γλῶσσαν, μᾶλλον δὲ τὴν κατ' εἰκόνα Θεοῦ γεγενημένην ψυχὴν πᾶσι τοῖς τῷ Θεῷ μισουμένοις θεάμασί τε καὶ ἀκροάμασι καὶ ῥήμασι, καὶ ταῖς κατ' ἀλλήλων βασκανίαις ἐφθείραμεν, εἰς δὲ τὸν τάρταρον τοῦτον ἀπεῤῥίφημεν, πήξει καὶ βυθῷ κατ' αὐτῶν τρυχόμενοι δεινῶς.

[00067] Ἐπειδὴ τῆς μὲν ὑψηλῆς καὶ τῶν ὑψηλῶν καὶ θείων προξενοῦν ταπεινοφροσύνης προεκρίναμεν τὴν ὑπερηφανίαν, καὶ τὸ τῆς ἀρετῆς στενόν τε καὶ σύντονον διὰ τὴν τῆς σαρκὸς ὑπερβάλλουσαν θρύψιν τε καὶ διάθεσιν ἀπεωσάμεθα.

[00068] Ποῦ νῦν ἡμῶν ἐστιν ἡ ὑπερηφανία, καὶ ἡ διὰ τὴν ἀλαζὼν πρὸς πάντας διάθεσις, καὶ ἡ τῆς σαρκὸς βλακώδης καὶ εὐδιάχυτος θρύψις;

[00069] Ὢ τῆς ἀβουλίας! ἀντὶ γέλωτος ἀκρατοῦς καὶ τοῦ ἀκολάστου ψόφου τῶν παρειῶν ὁ βαρὺς οὗτος βρυγμός ἐστι τῶν ὀδόντων.

[00070] Τὴν τῶν θείων καὶ σωτηρίων λόγων ἀσκῆσαι μάθησιν μὴ βουληθέντες, ἀλλὰ μέθης ἀμετρίαν τῆς διὰ λόγου θείας προτιμήσαντες αἰνέσεως, δεινῶς κολαζόμεθα νῦν τῆς γλώσσης δίψει φοβερᾷ διακενῆς.

[00071] Ἄξιον δὲ [28.596] καὶ τοῦ πρὸς τοὺς ἀδελφοὺς ἡμῶν μίσους, φθόνου τε καὶ δόλου, καὶ ὑποκρίσεως (ἐξ ὧν καὶ δι' ὧν ὁ φθόνος), λοιδορίας τε καὶ συκοφαντίας, καὶ μνησικακίας, καὶ ψεύδους, καὶ ἐπιορκίας δρεπόμεθα καρπὸν, τοῦτον τὸν ἀκοίμητον σκώληκα τὸ βάθος ἡμῶν τῆς ψυχῆς ἀκορέστως ἐσθίοντα.

[00072] Ἐπειδὴ τῆς ἀγάπης τὸ εὐθὲς, διαφθείραντες αὐτὴν, ἐσκαμβώσαμεν, κακὸν διὰ μίσους αὐτοῖς ἑκούσιον δημιουργήσαντες σκώληκα, καὶ πονηροτέραν σκαμβότητα διὰ ψεύδους ὀρύ ξαντες, δι' ἣν τῷ Θεῷ τῷ εὐθεῖ καὶ ὀρθῷ οὐχ ἡνώθημεν.

[00073] Αὐτὸς γὰρ εἶπε διὰ τοῦ ἁγίου Δαβὶδ τοῦ προ φήτου·

[00074] «Οὐκ ἐκολλήθη μοι καρδία σκαμβή.».

[00075] Ἄξια τοιγαροῦν ὧν ἐπράξαμεν ἀπολαμβάνομεν·

[00076] μᾶλλον δὲ τῆς οἰκείας κατὰ πρόθεσιν διαθέσεως ἄξια κομιζόμεθα τὰ ἐπίχειρα·

[00077] πυρὸς ἡδονῆς πῦρ γεέννης, καὶ σκότους ἀγνοίας καὶ ἀπάτης προσκαίρου σκότος αἰώνιον καὶ σκώληκα κολαστικόν τε καὶ ἀκοίμητον·

[00078] σκώληκος τοῦ διὰ μίσους καὶ ψεύδους τὴν καρδίαν σκολιώσαντος καὶ σκαμβώσαντος, καὶ ψόφους παρειῶν ἀσελγοῦς, βράσματος ψόφον καὶ ὀδόντων βρυγμόν·

[00079] καὶ ὕψους ὑπερηφανίας ματαίας καὶ διαχύσεως πόσιν καὶ βάθος ἀχανὲς καὶ στενότητα πήξεως, καὶ ἁπλῶς εἰπεῖν, ἑκάστου τῶν ἑκουσίων ἡμῶν κακῶν τὴν ἑκάστου προσφορὰν καὶ ἀκούσιον τιμωρίαν δικαίως ἀντιλαμβάνομεν.

[00080] Ὢ τῆς ἐλεεινότητος ἡμῶν! ἡμᾶς τοὺς ἀθλίους, μὴ κατασβέσαι τὸ πῦρ τῆς σαρκὸς διὰ νηστείας καὶ ἀγρυπνίας καὶ τῆς τῶν θείων λογίων μελέτης, καλῶν ὄντων καὶ εὐμαρῶν τοῦ πυρὸς σβεστηρίων, καὶ μὴ τούτῳ νῦν τῷ πυρὶ τηγανίζεσθαι.

[00081] Τί μὴ κατὰ φύσιν ὁρᾷν τε καὶ ἀκούειν καὶ λαλεῖν τὴν γλῶτταν εἰθίσαμεν, ἵνα μὴ τοῦτον ἔχωμεν νῦν τὸν ζόφον καὶ τὴν βαρυτάτην σιγὴν, ἀλλὰ καὶ ἡμεῖς τοῦ φωτὸς καὶ τοῦ λόγου καὶ τῆς σοφίας τοῦ Θεοῦ μετὰ τῶν ἁγίων ἀπολαύωμεν, ὡς τῆς θείας γενόμενοι δόξης θεαταὶ καὶ ἀκουσταὶ καὶ ὑμνῳδοί;

[00082] Ἢ δι' ἀγάπης τὸν ἑκούσιον τοῦ μίσους ἐνεκρώσαμεν σκώληκα, καὶ δι' ἀληθείας τὸ ψεῦδος ἠφανίσαμεν;

[00083] νῦν ἂν τούτου τοῦ καυστικοῦ καθεστήκαμεν ἐλεύθεροι σκώληκος, καὶ τῶν λοιπῶν νῦν ὅσα τὴν ἡμῶν συνέχει δεινοτάτην ζωήν.

[00084] Δικαία ἡ κρίσις τοῦ Θεοῦ.

[00085] Οὐχ εὑρίσκομεν ὅπερ ἐζητήσαμεν, οὐκ ἀνοίγεται ἡμῖν θύρα τῆς βασιλείας τῶν οὐρανῶν.

[00086] Ἐπειδὴ γὰρ τὴν θύραν τῶν ἀγαθῶν διὰ πράξεως οὐκ ἐκρούσαμεν, οὐ λαμβάνομεν τῶν αἰωνίων ἀγαθῶν τὴν ἀπόλαυσιν·

[00087] ἐπειδὴ δι' εὐχῆς τὴν χάριν τῆς γνώσεως οὐκ ᾐτήσαμεν·

[00088] (οὐδένα γὰρ τῶν θείων εἴχομεν ἔρωτα, ἀλλὰ, τοῖς γηΐνοις τὸν νοῦν καταδήσαντες, πᾶσαν αὐτοῖς ἡμῖν τὴν ζωὴν συνεφθείραμεν·) κἀκεῖνα μὲν πάντα καπνοῦ δίκην ἀφανισθέντα παρῆλθεν·

[00089] ὁ δὲ τῆς ἐπ' αὐτοῖς δίκης λόγος μένει διὰ παντὸς ἀπαρόδευτος.

[00090] Καὶ ταῦτα μὲν ἐκεῖνοι τῆς θείας δικαιοσύνης μεταμανθάνοντες, ἐξ ὧν πάσχουσι τὴν δύναμιν, ὡς τύπῳ περιλαβεῖν, ἀλλήλοις διαλεχθήσονται.

[00091] Ἐγὼ δὲ τίς γενόμενος τάλας, τίσιν ἐρειδόμενος πράξεσιν ἐλπίσω τῆς φοβερᾶς ἐξαιρεθῆναι κατακρίσεως;

[00092] Πάσης ἀρετῆς καὶ πάσης γνώσεως ὑπάρχων ἔρημος, δέδοικα μὴ δεθεὶς χεῖρας καὶ πόδας ῥιφῶ εἰς γῆν σκο [28.597] τεινὴν καὶ γνοφερὰν, εἰς γῆν σκότους αἰωνίου, ἔνθα οὐκ ἔστι φέγγος οὐδὲ ὁρᾷν ζωὴν βροτῶν, ὡς δήσας τοῖς πάθεσιν ἑκουσίως τὰς πρακτικὰς τῆς ψυχῆς ἀρετὰς, καὶ ἀπὸ τοῦ θείου δρόμου τῆς ἀγγελικῆς πολιτείας, κωλύσας ταύτης τὰ διαβήματα.

[00093] Ἱλάσθητι, Χριστὲ, καὶ σῶσον ἡμᾶς ταύτης τῆς ὀδύνης.

[00094] Οἷς γὰρ κατὰ τὸν αἰῶνα τοῦτον διὰ τῶν ἐπιτηδευμάτων ἡμῶν τῶν πονηρῶν συνεῖναι κατὰ θέλησιν γνωμικῶς ἐπελεξάμεθα, σὺν τούτοις εἰκότως ἐξ ἀνάγκης εἶναι κατὰ τὸν αἰῶνα τὸν μέλλοντα μὴ θέλοντες κατακριθησόμεθα.

[00095] Ἔσται γὰρ ὡς ἀληθῶς, ἔσται καιρὸς, ὅτε φοβερά τις βοήσει σάλπιγξ ξένην ἔχουσα φωνὴν, καὶ τὸ πᾶν τοῦτο λυθήσεται διαπίπτον τῆς ἐν αὐτῷ ὁρωμένης διακοσμήσεως·

[00096] ὁ μὲν φαινόμενος κόσμος ὅλος παρελεύσεται τὴν οἰκείαν λαμβάνων συντέλειαν·

[00097] ὁ δὲ νῦν προσδοκώμενος τῶν ὄντων φανήσεται κόσμος, ὀφθαλμοῖς καὶ ἀκοαῖς καὶ διανοίαις ξένα πάντα κομίζων μυστήρια.

[00098] Ὁ δὲ Θεὸς ἑκάστῳ πρὸς ἃ διὰ τοῦ σώματος ἔπραξεν, εἴτε καλὸν εἴτε φαῦλον, κατ' ἀξίαν ἀποδίδωσι·

[00099] μέγα καὶ φοβερὸν καὶ εἰς ἔσχατον πᾶσιν ἀποδιδοὺς συγκλεισμόν.

[00100] Ἀλλὰ γένοιτο πάντας ἡμᾶς τόν τε σωτήριον τῆς γεέννης φόβον, καὶ τὸν τίμιον πόθον τῆς τῶν οὐρανῶν βασιλείας ἀναλαβεῖν! τὸν μὲν φόβον παντελῆ τῶν κακῶν ἡμῖν ἀποχὴν καὶ ἀργίαν ποιοῦντα·

[00101] τὸν δὲ πόθον καὶ εἰς τὰς τῶν ἀγαθῶν πράξεις προτρεπόμενον ἱλαρῶς, ἵνα τύχωμεν τῶν ἐπηγγελμένων ἀγαθῶν τὴν ἀπόλαυσιν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ ἀνάρχῳ (Πατρὶ) καὶ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ αὐτοῦ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

[00102] Ἀμήν.

[00103]

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**

**0295-0373 - Athanasius Alexandrinus - Magnus - Sermo ad Antiochum ducem**

**Litterarum Omnium Conspectus: 121 Litterae, quae repetitae sunt in 10,097 occasionibus**

---

| | | | | | |
|---|---|---|---|---|---|
| α | 0945 | 806 | Α | 0913 | 13 |
| β | 0946 | 85 | Β | 0914 | 0 |
| γ | 0947 | 147 | Γ | 0915 | 1 |
| δ | 0948 | 181 | Δ | 0916 | 0 |
| ε | 0949 | 519 | Ε | 0917 | 4 |
| ζ | 0950 | 25 | Ζ | 0918 | 0 |
| η | 0951 | 128 | Η | 0919 | 1 |
| θ | 0952 | 140 | Θ | 0920 | 16 |
| ι | 0953 | 379 | Ι | 0921 | 7 |
| κ | 0954 | 468 | Κ | 0922 | 10 |
| λ | 0955 | 232 | Λ | 0923 | 1 |
| μ | 0956 | 320 | Μ | 0924 | 1 |
| ν | 0957 | 901 | Ν | 0925 | 7 |
| ξ | 0958 | 37 | Ξ | 0926 | 1 |

| | | | | | |
|---|---|---|---|---|---|
| ο | 0959 | 641 | Ο | 0927 | 14 |
| π | 0960 | 302 | Π | 0928 | 14 |
| ρ | 0961 | 337 | Ρ | 0929 | 5 |
| ς | 0962 | 485 | • | 0930 | 0 |
| σ | 0963 | 366 | Σ | 0931 | 7 |
| τ | 0964 | 733 | Τ | 0932 | 19 |
| υ | 0965 | 174 | Υ | 0933 | 3 |
| φ | 0966 | 82 | Φ | 0934 | 0 |
| χ | 0967 | 65 | Χ | 0935 | 6 |
| ψ | 0968 | 21 | Ψ | 0936 | 0 |
| ω | 0969 | 154 | Ω | 0937 | 1 |
| ῤ | 8164 | 1 | | | 0 |
| ῥ | 8165 | 6 | Ῥ | 8172 | |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ά | 8049 | 116 | έ | 8051 | 108 | ή | 8053 | 60 | ί | 8055 | 185 | ό | 8057 | 109 | ύ | 8059 | 82 | ώ | 8061 | 35 |
| ὰ | 8048 | 99 | ὲ | 8050 | 32 | ὴ | 80852 | 66 | ὶ | 8054 | 188 | ὸ | 8056 | 99 | ὺ | 8058 | 26 | ὼ | 8060 | 2 |
| ᾶ | 8118 | 22 | | | 0 | ῆ | 8134 | 75 | ῖ | 8150 | 51 | | | 0 | ῦ | 8166 | 102 | ῶ | 8182 | 124 |
| ἀ | 7936 | 118 | ἐ | 7952 | 103 | ἠ | 7968 | 3 | ἰ | 7984 | 38 | ὀ | 8000 | 12 | ὐ | 8016 | 71 | ὠ | 8032 | 1 |
| ἁ | 7937 | 6 | ἑ | 7953 | 22 | ἡ | 7969 | 54 | ἱ | 7985 | 5 | ὁ | 8001 | 18 | ὑ | 8017 | 20 | ὡ | 8033 | 12 |
| ἂ | 7938 | 4 | ἒ | 7954 | 0 | ἢ | 7970 | 3 | ἲ | 7986 | 0 | ὂ | 8002 | 0 | ὒ | 8018 | 0 | ὢ | 8034 | 4 |
| ἃ | 7939 | 1 | ἓ | 7955 | 0 | ἣ | 7971 | 1 | ἳ | 7987 | 0 | ὃ | 8003 | 1 | ὓ | 8019 | 0 | ὣ | 8035 | 0 |
| ἄ | 7940 | 6 | ἔ | 7956 | 25 | ἤ | 7972 | 0 | ἴ | 7988 | 5 | ὄ | 8004 | 4 | ὔ | 8020 | 0 | ὤ | 8036 | 0 |
| ἅ | 7941 | 0 | ἕ | 7957 | 3 | ἥ | 7973 | 0 | ἵ | 7989 | 3 | ὅ | 8005 | 11 | ὕ | 8021 | 4 | ὥ | 8037 | 1 |
| ἆ | 7942 | 0 | | | 0 | ἦ | 7974 | 1 | ἶ | 7990 | 4 | | | 0 | ὖ | 8022 | 0 | ὦ | 8038 | 1 |
| ἇ | 7943 | 0 | | | 0 | ἧ | 7975 | 1 | ἷ | 7991 | 3 | | | 0 | ὗ | 8023 | 1 | ὧ | 8039 | 5 |
| ᾀ | 8064 | 0 | | | 0 | ᾐ | 8080 | 1 | | | 0 | | | 0 | ῧ | 8167 | 0 | ᾠ | 8096 | 0 |
| ᾁ | 8065 | 0 | | | 0 | ᾑ | 8081 | 0 | | | 0 | | | 0 | ΰ | 8163 | 0 | ᾡ | 8097 | 0 |
| ᾂ | 8066 | 0 | | | 0 | ᾒ | 8082 | 0 | | | 0 | | | 0 | | | 0 | ᾢ | 8098 | 0 |
| ᾃ | 8067 | 0 | | | 0 | ᾓ | 8083 | 0 | | | 0 | | | 0 | | | 0 | ᾣ | 8099 | 0 |
| ᾄ | 8068 | 0 | | | 0 | ᾔ | 8084 | 0 | | | 0 | | | 0 | | | 0 | ᾤ | 8100 | 0 |
| ᾅ | 8069 | 0 | | | 0 | ᾕ | 8085 | 0 | | | 0 | | | 0 | | | 0 | ᾥ | 8101 | 0 |
| ᾆ | 8070 | 0 | | | 0 | ᾖ | 8086 | 0 | | | 0 | | | 0 | | | 0 | ᾦ | 8102 | 0 |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ᾇ | 8071 | 0 | | | 0 | ᾗ | 8087 | 0 | | | 0 | | | 0 | | | 0 | ᾧ | 8103 | 1 |
| ᾳ | 8115 | 2 | | | 0 | ῃ | 8131 | 0 | | | 0 | | | 0 | | | 0 | ῳ | 8179 | 10 |
| ᾴ | 8116 | 1 | | | 0 | ῄ | 8132 | 0 | | | 0 | | | 0 | | | 0 | ῴ | 8180 | 0 |
| ᾷ | 8119 | 5 | | | 0 | ῇ | 8135 | 3 | | | 0 | | | 0 | | | 0 | ῷ | 8183 | 20 |

Ceterae infrequentes vel rarissimae Litterae expositae non sunt

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**
**0295-0373 - Athanasius Alexandrinus - Magnus - Sermo ad Antiochum ducem**
**Verborum Omnium Conspectus: 984Verba, quae repetita sunt in 4,097,868 occasionibus**

---

**ἃ** [00098]
**ἀβά** [00045]
**ἀβουλίας** [00069]
**ἄβυσσον** [00024]
**ἀγαθῷ** [00101]
**ἀγαθῶν** [00020] [00062] [00086] [00086] [00101] [00101]
**ἀγανακτοῦσα** [00027]
**ἀγάπης** [00072] [00082]
**ἀγγελία** [00048]
**ἀγγελικῆς** [00092]
**ἀγγελικῶν** [00004]
**ἄγγελοι** [00012]
**ἀγγέλοις** [00013] [00013] [00020]
**ἀγγέλων** [00025] [00062]
**ΑΓΙΟΙΣ** [00001]
**ἁγίου** [00073]
**ἁγίων** [00081]
**ἀγνοίας** [00077]
**ἀγρυπνίας** [00080]
**ἀδελφοὺς** [00071]
**ἀεὶ** [00101]
**ἀέρα** [00049]
**ΑΘΑΝΑΣΙΟΥ** [00001]
**ἀθλίους** [00080]
**αἰνέσεως** [00070]
**αἰσχρὰ** [00062]
**αἰσχύνην** [00028]
**αἰῶνα** [00094] [00094]
**αἰῶνας** [00032] [00050] [00101]
**αἰώνιον** [00020] [00077]
**αἰωνίου** [00092]
**αἰωνίων** [00086]
**αἰώνων** [00101]
**ἀκοαῖς** [00097]
**ἀκοίμητον** [00071] [00077]
**ἀκοίμητος** [00010]
**ἀκολασίας** [00064]
**ἀκολάστου** [00069]
**ἀκορέστως** [00071]
**ἀκούειν** [00081]
**ακούεις** [00041]
**ἀκούσιον** [00079]
**ἀκουσταὶ** [00081]
**ἀκρατοῦς** [00069]
**ἀκριβείας** [00004]
**ἀκροάμασι** [00066]
**ἀκύρους** [00039]
**ἀλαζονείας** [00047]
**ἀλαζὼν** [00068]
**ΑΛΕΞΑΝΔΡΕΙΑΣ** [00001]
**ἀληθείας** [00082]
**ἀληθοῦς** [00019]
**ἀληθῶς** [00004] [00035] [00095]
**ἀλλ** [00003] [00066]
**ἀλλὰ** [00039] [00070] [00081] [00088]
**Ἀλλὰ** [00100]
**ἀλλήλοις** [00090]
**ἀλλήλων** [00015] [00066]
**ἁμαρτημάτων** [00060]
**ἁμαρτίας** [00015] [00017]
**ἀμελείας** [00029]
**ἀμετρίαν** [00070]
**Ἀμήν** [00102]
**ἂν** [00035] [00057] [00083]
**ἀναγινώσκειν** [00016]
**ἀνάγκης** [00094]
**ἀναγνωσθήσονται** [00014]
**ἀναδειχθῶσι** [00010]
**ἀναλαβεῖν** [00100]
**ἀναπνέοντες** [00012]
**ἀνάρχῳ** [00101]
**ἀνείκαστος** [00010]
**ἄνθρωπε** [00002]
**ἄνθρωπος** [00019]
**ἀνοθεύτως** [00007]
**ἀνοίας** [00042]
**ἀνοίγεται** [00085]
**ἀνοίγονται** [00007]
**ἀνομίας** [00044]
**ἀντέδωκε** [00060]
**ἀντὶ** [00069]

**ἀντιλαμβάνομεν** [00079]
**ΑΝΤΙΟΧΟΝ** [00001]
**ἄξια** [00076]
**Ἄξια** [00075]
**ἀξίαν** [00019] [00098]
**Ἄξιον** [00071]
**ἀοράτους** [00003]
**ἀπαραλόγιστος** [00019]
**ἀπαρόδευτος** [00089]
**Ἄπασα** [00027]
**ἀπαστράπτων** [00019]
**ἀπάτη** [00043]
**ἀπάτης** [00035] [00060] [00077]
**ἀπειλὴ** [00008]
**ἀπέραντον** [00028]
**ἀπεῤῥίφημεν** [00066]
**Ἀπετύφλωσε** [00043]
**ἀπεωσάμεθα** [00067]
**ἀπῆν** [00062]
**ἁπλῶς** [00079]
**ἀποδιδοὺς** [00099]
**ἀποδίδωσι** [00098]
**ἀποδόσεως** [00019]
**ἀπολαμβάνομεν** [00075]
**ἀπόλαυσιν** [00086] [00101]
**ἀπολαύωμεν** [00081]
**ἀπόπτυστον** [00060]
**ἀποστίλβοντες** [00012]
**ἀποστροφὴν** [00026]
**ἀποχὴν** [00100]
**ἀπωθούμενος** [00020]
**ἀπώλεια** [00040]
**ἀργίαν** [00100]
**ἀρετὰς** [00092]
**ἀρετῆς** [00067] [00092]
**ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ** [00001]
**ΑΡΧΟΝΤΑ** [00001]
**ἀσελγοῦς** [00078]
**ἀσίγητον** [00029]
**ἀσκῆσαι** [00070]
**ἀτραπὸν** [00048]
**αὐτὰς** [00003] [00011]
**αὐτὴν** [00072]
**αὐτῆς** [00034] [00048]
**αὐτοῖς** [00030] [00072] [00088] [00089]
**Αὐτὸς** [00073]
**αὐτοῦ** [00009] [00019] [00020] [00101]
**αὐτοὺς** [00018]
**αὐτῷ** [00008] [00008] [00024] [00095]
**αὐτῶν** [00018] [00027] [00029] [00029] [00033] [00033] [00066]
**ἀφανισθέντα** [00088]
**ἄφατον** [00005]
**ἀφέντα** [00050]
**ἀχανὲς** [00079]
**ἀχανὴς** [00010]

**βάθος** [00071] [00079]
**βαρὺν** [00023]
**βαρὺς** [00069]
**βαρυτάτην** [00081]
**βασάνοις** [00029]
**βάσανον** [00060]
**βασιλείαν** [00019]
**βασιλείας** [00085] [00100]
**βασκανίαις** [00066]
**βδελυρὸν** [00064]
**βδελύττεται** [00027]
**βίβλοι** [00007]
**βίβλον** [00016]
**βίου** [00043]
**βλακώδης** [00068]
**βλέμματος** [00025]
**βλέποντας** [00003]
**βλέποντες** [00012]
**βλοσυρόν** [00025]
**βοήσει** [00095]
**βόθρος** [00010]
**βουλὰς** [00042]
**βουλάς** [00039]
**βουλευμάτων** [00060]
**βουλευόμεθα** [00002]
**βουληθέντες** [00070]
**βουλῆς** [00013]
**βράσματος** [00078]
**βροτῶν** [00092]
**βρυγμὸν** [00029]
**βρυγμόν** [00078]
**βρυγμός** [00069]
**βυθῷ** [00066]

**γὰρ** [00004] [00009] [00017] [00031] [00035] [00037] [00042] [00043] [00052] [00060] [00073] [00086] [00088] [00094] [00095]
**γεγενημένην** [00066]
**γέενναν** [00060]
**γεέννης** [00077] [00100]
**γειός** [00013]
**γέλωτος** [00069]
**γενήσεται** [00014]
**γένοιτο** [00100]
**γενόμενοι** [00081]
**γενόμενος** [00091]
**γῆ** [00006]
**γηΐνοις** [00088]
**γῆν** [00092] [00092]
**γι** [00004]
**γινομένων** [00003]
**γινώσκειν** [00015]
**γινώσκον** [00003]
**γλῶσσαν** [00066]
**γλώσσης** [00070]
**γλῶτταν** [00081]
**γνοφερὰν** [00092]
**γνώμην** [00027]

γνωμικῶς [00094]
γνώσεως [00087] [00092]
γυμνὰ [00035]
γύμνωσις [00014]

Δαβὶδ [00073]
δαιμόνων [00062]
δάκρυον [00029]
δακρύων [00033]
δὲ [00020] [00038] [00045] [00046] [00064] [00066] [00066] [00071] [00076] [00089] [00091] [00097] [00098] [00101]
δέδοικα [00092]
δεθεὶς [00092]
δεινοτάτην [00083]
δεινότε [00026]
δεινῶν [00055]
δεινῶς [00066] [00070]
δεξιῶν [00019]
δηλαδὴ [00045]
δημιουργήσαντες [00072]
δῆμοι [00062]
δήσας [00092]
δί [00032]
δι [00004] [00019] [00060] [00071] [00072] [00082] [00082] [00087]
διὰ [00002] [00006] [00019] [00020] [00027] [00032] [00044] [00067] [00068] [00070] [00072] [00072] [00073] [00078] [00080] [00086] [00089] [00094] [00098]
διαβάσης [00048]
διαβήματα [00092]
διαβόλῳ [00020]
διαβούλια [00018]
διαθέσεως [00076]
διάθεσιν [00067]
διάθεσις [00068]
διακενὴς [00070]
διακοσμήσεως [00095]
διαλεχθήσονται [00090]
διαμένου [00050]
διανοίαις [00097]
διαπίπτον [00095]
διαπτάντος [00049]
διασμύχοντας [00029]
διατρέχουσα [00008]
διαφθείραντες [00072]
διαχύσεως [00079]
διδούς [00019]
διελέγχοντας [00003]
διερχο [00048]
Δικαία [00036] [00051] [00084]
δικαίαν [00032]
δικαίας [00019] [00060]
δίκαιον [00031]
δικαιοσύνην [00019]
δικαιοσύνης [00090]
Δικαίως [00040] [00065]
δικαίως [00029] [00060] [00079]
δικαστήριον [00031]
δικαστὴς [00019]
δίκην [00088]
δίκης [00089]
δίψει [00070]
Διωδεύσαμεν [00045]
δόλου [00071]
δονούμενον [00025]
δόξα [00101]
δόξαν [00065]
δόξης [00081]
δρεπόμεθα [00042] [00071]
δριμὺ [00025]
δρόμου [00092]
δυνά [00004]
δυνάμεσι [00013]
δύναμιν [00019] [00090]
δυνήσεται [00023] [00029] [00033]

ἑαυτὸν [00034]
ἑαυτοῦ [00016] [00016] [00035]
ἑαυτοὺς [00027] [00027]
ἑαυτῷ [00032]
ἑαυτῶν [00002] [00035] [00042]
ἐγγινομένην [00030]
ἔγγραφα [00007]
ἔγνωμεν [00043] [00046]
Ἐγὼ [00091]
ἐδιδασκόμεθα [00055]
ἐζητήσαμεν [00085]
ἐθεασά [00065]
εἴδους [00060]
εἰθίσαμεν [00081]
εἰκόνα [00066]
εἰκότως [00094]
εἵλκεν [00009]
εἶναι [00033] [00043] [00094]
εἶπε [00073]
εἰπεῖν [00079]
εἰς [00003] [00012] [00020] [00040] [00050] [00066] [00092] [00092] [00099] [00101] [00101]
εἰσ [00041]
εἱστήκει [00011]
εἴτε [00098] [00098]
εἴχομεν [00088]
ἐκ [00019] [00024] [00029] [00030] [00033]
ἐκάλεσας [00037]
ἐκαλούμεθα [00053]
ἑκάστην [00055]
ἕκαστος [00016] [00035]
ἑκάστου [00034] [00060] [00079] [00079]
ἑκάστῳ [00019] [00098]
ἔκβασιν [00011]
ἐκδέχεσθαι [00030]
ἐκδεχόμενοι [00013]
ἐκδεχομένων [00011]
ἐκδίκησιν [00012]
ἐκεῖνα [00048] [00050]
ἐκεῖνο [00021] [00022] [00029] [00031]
ἐκεῖνοι [00090]

**ἐκείνου** [00023]
**ἐκολλήθη** [00074]
**ἑκούσιον** [00072] [00082]
**ἑκουσίων** [00079]
**ἑκουσίως** [00092]
**ἐκρούσαμεν** [00086]
**ἐκτήκουσα** [00008]
**Ἐλέγξω** [00017]
**ἔλεγχον** [00004]
**ἐλεεινότητος** [00080]
**ἔλεος** [00041]
**ἐλεύθερα** [00035]
**ἐλεύθεροι** [00083]
**ἐλεύθερος** [00033]
**ἐλπίζειν** [00030]
**ἐλπίσω** [00091]
**ἐλύπει** [00056] [00057]
**ἐμολύναμεν** [00066]
**ἐμπιμπλά** [00042]
**ἔμπροσθεν** [00009]
**ἐν** [00004] [00004] [00013] [00013] [00029] [00048] [00062] [00095] [00101]
**EN** [00001]
**ἐναποκλεῖον** [00032]
**ἐνδίκως** [00027]
**ἐνέγκοι** [00021] [00034]
**ἐνεκρώσαμεν** [00082]
**ἐνεπλήσθημεν** [00044]
**ἔνθα** [00092]
**Ἔνθα** [00063]
**ἐνθυμήσεως** [00004]
**ἐνομίζετο** [00058]
**ἐνουθετούμεθα** [00054]
**ἐξ** [00020] [00071] [00090] [00094]
**ἐξαιρεθῆναι** [00091]
**ἐξειπεῖν** [00030]
**ἐξώτερον** [00010]
**ἐξωτέρου** [00023]
**ἐπ** [00003] [00011] [00034] [00089]
**ἐπᾴδομεν** [00059]
**ἐπεὶ** [00057]
**ἐπειδὴ** [00087]
**Ἐπειδὴ** [00062] [00067] [00072] [00086]
**ἔπειξιν** [00005]
**ἐπελεξάμεθα** [00094]
**ἐπηγγελμένων** [00101]
**ἐπὶ** [00002] [00025] [00028] [00033] [00060]
**ἐπί** [00013]
**ἐπιγνώμων** [00035]
**ἐπίγνωσις** [00062]
**ἐπιεικὴς** [00019]
**ἐπικαλούμεθά** [00041]
**ἐπικειμένης** [00030]
**ἐπικειμένων** [00029]
**ἐπιορκίας** [00071]
**ἐπισκοπῆς** [00045]
**ἐπιτηδευμάτων** [00094]
**ἐπίφοβον** [00031]
**ἐπίχειρα** [00076]
**ἐποιοῦ** [00039]
**ἐπουράνιος** [00013]
**ἐπράξαμεν** [00075]
**ἔπραξεν** [00098]
**ἔργον** [00019]
**ἔργων** [00007] [00020]
**ἐρειδόμενος** [00091]
**ἐρημίαν** [00020]
**ἔρημος** [00092]
**ἔρωτα** [00088]
**ἐσεμνύνετο** [00064]
**ἔσεσθαι** [00028]
**ἐσθίοντα** [00071]
**ἐσκαμβώσαμεν** [00072]
**ἔσται** [00095]
**Ἔσται** [00095]
**ἐστερήμεθα** [00065]
**ἑστήκασι** [00012]
**ἐστι** [00069]
**ἔστι** [00092]
**ἐστιν** [00030] [00068]
**ἔστιν** [00048]
**ἔσχατον** [00099]
**ἕτοιμοι** [00012]
**εὐδιάχυτος** [00068]
**εὐζῆν** [00030]
**εὐθεῖ** [00072]
**εὐθὲς** [00072]
**εὐμαρῶν** [00080]
**εὑρεῖν** [00048]
**εὑρίσκεται** [00049]
**εὑρίσκομεν** [00041] [00085]
**εὐφροσύνης** [00063]
**εὐχῆς** [00087]
**εὐωνύ** [00020]
**ἐφ** [00035]
**Ἐφ** [00014]
**ἐφθείραμεν** [00066]
**ἔχειν** [00060]
**έχομεν** [00054]
**ἐχόρευον** [00062]
**ἔχουσα** [00095]
**ἔχουσι** [00007]
**ἔχωμεν** [00081]
**ἔχων** [00019]

**ζητοῦμεν** [00041]
**ζόφον** [00061] [00081]
**ζωὴν** [00065] [00088] [00092]
**ζωήν** [00058] [00083]
**ζωοποιῷ** [00101]

**ἥ** [00005] [00006] [00036] [00043] [00051] [00068] [00068] [00068] [00084] [00101]
**ἢ** [00029] [00030] [00031]

**Ἠ** [00049] [00082]
**ἠγαπή** [00062]
**ἡδονὴν** [00060]
**ἡδονῆς** [00077]
**ἦλθεν** [00040]
**ἠλπίσαμεν** [00043]
**ἡμᾶς** [00004] [00037] [00040] [00043] [00056] [00080] [00093] [00100]
**ἡμεῖς** [00041] [00081]
**ἡμέρᾳ** [00004]
**ἡμέραν** [00055]
**ἡμερῶν** [00007]
**ἡμετέρων** [00007] [00060]
**ἡμῖν** [00038] [00047] [00050] [00058] [00060] [00085] [00088] [00100]
**ἡμῶν** [00003] [00004] [00004] [00014] [00058] [00065] [00066] [00068] [00071] [00071] [00079] [00080] [00083] [00094] [00101]
**ΗΜΩΝ** [00001]
**ἣν** [00072]
**ηνὴς** [00019]
**ἡνίκα** [00010]
**ἡνώθημεν** [00072]
**ἧς** [00048]
**ᾐτήσαμεν** [00087]
**ἡτοιμασμένην** [00019]
**ἡτοιμασμένον** [00020]
**ηὐλογημένε** [00002]
**ἠφανίσαμεν** [00082]

**θαύματος** [00060]
**θέαμα** [00022]
**θεάμασί** [00066]
**θεασαμένων** [00027]
**θεαταὶ** [00081]
**θέατρα** [00062]
**θεία** [00062]
**θείας** [00013] [00045] [00070] [00081] [00090]
**θείου** [00092]
**θείων** [00062] [00067] [00070] [00080] [00088]
**θελήσαντες** [00042]
**θέλησιν** [00094]
**θέλοντες** [00094]
**Θεὸν** [00027]
**Θεὸς** [00098]
**Θεός** [00036] [00051]
**Θεοῦ** [00002] [00026] [00042] [00043] [00060] [00065] [00066] [00081] [00084]
**Θεῷ** [00066] [00072]
**θλίψις** [00040]
**θρῆνον** [00034]
**θρύψιν** [00067]
**θρύψις** [00068]
**θύρα** [00085]
**θύραν** [00086]

**ἰδοὺ** [00019]
**Ἰησοῦ** [00101]
**ἱκανός** [00030]
**ἱλαρῶς** [00101]
**Ἱλάσθητι** [00093]
**ἵνα** [00081] [00101]
**ἱππικὰ** [00062]
**ἴχνος** [00048]

**κα** [00019]
**καθ** [00055]
**καθαπτομένων** [00033]
**καθέξεται** [00007]
**καθεστήκαμεν** [00083]
**καθέστηκεν** [00035]
**καθυβρίζετο** [00063]
**καιον** [00032]
**καιρὸς** [00095]
**κἀκεῖνα** [00088]
**κακοῖς** [00027]
**κακὸν** [00072]
**κακόν** [00064]
**κακῶν** [00026] [00060] [00079] [00100]
**καλὰς** [00019]
**καλὸν** [00098]
**καλῶν** [00080]
**κἂν** [00056]
**καπνοῦ** [00088]
**καρδία** [00074]
**καρδίαν** [00078]
**καρδίας** [00003] [00029] [00033]
**καρπὸν** [00071]
**καρποὺς** [00042]
**κατ** [00005] [00027] [00066] [00066] [00066] [00098]
**καταγράφοντες** [00004]
**καταδακνόντων** [00033]
**καταδήσαντες** [00088]
**καταιγὶς** [00040]
**κατακριθησόμεθα** [00094]
**κατακρίσεως** [00091]
**καταπτήσσει** [00022]
**κατασβέσαι** [00080]
**καταφρονήσαντες** [00062]
**κατειόντων** [00014]
**κατεκρίθημεν** [00060] [00061]
**κατεφρονοῦμεν** [00055]
**κατηφείας** [00034]
**κατηφὲς** [00025]
**καυσούμενα** [00006]
**καυστικοῦ** [00083]
**κείων** [00042]
**κηρὸν** [00008]
**κλαυθμὸν** [00029]
**κληρονομίαν** [00050]
**κλονουμένη** [00005]
**κολαζόμεθα** [00070]
**κολαζομένων** [00034]
**κολάσεως** [00030]
**κολαστικοὶ** [00012]

**κολαστικόν** [00077]
**κομιζόμεθα** [00076]
**κομίζων** [00097]
**κόσμος** [00096] [00097]
**κόσμου** [00019]
**κράτος** [00101]
**κρίσεως** [00004] [00060]
**κρίσις** [00036] [00051] [00084]
**κρυπτὸν** [00003]
**κρυπτῶν** [00014] [00028]
**κτίσιν** [00065]
**κτίσις** [00005] [00013] [00027]
**κύκλῳ** [00008]
**Κυκλώσει** [00018]
**κυμαινόμενον** [00048]
**κύμασιν** [00048]
**κυνηγέσια** [00062]
**Κυρίου** [00042] [00046]
**Κυρίῳ** [00101]
**κωκυτοὺς** [00029]
**κωλύματος** [00035]
**κωλύσας** [00092]
**κώμενον** [00024]

**λαλεῖν** [00081]
**λαμβάνομεν** [00086]
**λαμβάνων** [00033] [00096]
**λαχόντας** [00020]
**λεγόμενά** [00004]
**λεγομένων** [00055]
**λέγοντες** [00052]
**λειτουργοῦσιν** [00008]
**λῆρος** [00058]
**λογίων** [00080]
**λόγον** [00042]
**λόγος** [00089]
**λόγου** [00070] [00081]
**λόγους** [00038]
**λόγων** [00007] [00034] [00070]
**λοιδορίας** [00071]
**λοιπόν** [00052]
**λοιπῶν** [00083]
**λυθήσεται** [00095]
**λυθήσονται** [00006]

**μάθησιν** [00070]
**μᾶλλον** [00066] [00076]
**μάρτυρας** [00003]
**ματαίας** [00079]
**μέγα** [00099]
**μεγαλοπρεπῆ** [00019]
**μεθ** [00034]
**μεθα** [00042] [00065]
**μέθης** [00070]
**μελέτης** [00080]
**μέλλοντα** [00094]
**μέλλου** [00028]
**μὲν** [00019] [00063] [00067] [00088] [00090] [00096] [00100]
**μεν** [00039]
**μένει** [00089]
**μένη** [00048]
**μενόμενον** [00021]
**μέσης** [00029] [00033]
**μέσου** [00006]
**μετ** [00020]
**μεταβολὴν** [00030]
**μεταμανθάνοντες** [00090]
**μεταμελείας** [00034]
**μετέωρος** [00011]
**μέχρι** [00004]
**μεων** [00004]
**μηδὲ** [00030] [00042]
**μίας** [00060]
**μικρὸν** [00056]
**μισήσαντες** [00042]
**μισθὸν** [00043]
**μισουμένοις** [00066]
**μίσους** [00071] [00072] [00078] [00082]
**μνησικακίας** [00071]
**μοι** [00074]
**μόνον** [00003] [00027] [00031]
**μυ** [00024]
**μυελῶν** [00033]
**μυριάδες** [00008]
**μύριαι** [00008]
**μυστήρια** [00043] [00097]
**μων** [00020]

**ναῦς** [00048]
**νέμων** [00019]
**νηστείας** [00080]
**νοημάτων** [00007]
**νόμενα** [00004]
**νοούμενα** [00004]
**νοουμένων** [00003]
**νοῦν** [00033] [00088]
**νῦν** [00041] [00058] [00065] [00068] [00070] [00080] [00081] [00083] [00083] [00097] [00101]

**ξαντες** [00072]
**ξένα** [00097]
**ξένην** [00095]
**ξένον** [00022]

**ὁ** [00006] [00011] [00036] [00047] [00051] [00069] [00071] [00089] [00096] [00097]
**Ὁ** [00098]
**ὁδὸν** [00046]
**ὀδόντων** [00029] [00069] [00078]

**ὀδύνης** [00093]
**Οἱ** [00042]
**οἱ** [00042]
**οἰκείαν** [00005] [00096]
**οἰκείας** [00076]
**οἰκεῖν** [00061]
**οἰκτίρμονος** [00026]
**οἰκτρὰν** [00060]
**οἰμωγὰς** [00033]
**Οἷς** [00094]
**οἷς** [00062]
**οἵων** [00034]
**ὄλεθρος** [00040]
**ὅλος** [00096]
**ὀλοφυρμὸν** [00034]
**ὁμοῦ** [00023] [00062]
**ὄντων** [00080] [00097]
**ὅπερ** [00085]
**ὁρᾷν** [00081] [00092]
**ὁρατῶν** [00005]
**ὀργῆς** [00012] [00020]
**ὄρη** [00008]
**ὀρθῷ** [00072]
**ὀρνέου** [00049]
**ὀρύ** [00072]
**ὁρωμένης** [00095]
**ὃς** [00047]
**ὅσα** [00083]
**ὅση** [00013] [00013]
**ὁσιότητος** [00043]
**ὅσον** [00031]
**ὅτ** [00035]
**ὅτε** [00005] [00095]
**ὅτι** [00032] [00065]
**οὐ** [00022] [00026] [00038] [00054] [00086]
**οὐδὲ** [00043] [00048] [00092]
**οὐδὲν** [00049]
**οὐδένα** [00088]
**οὐδέποτε** [00052]
**Οὐκ** [00074]
**οὐκ** [00003] [00041] [00043] [00046] [00048] [00056] [00057] [00065] [00085] [00086] [00087] [00092]
**οὐρανίων** [00019]
**οὐρανοῖς** [00013]
**οὐρανὸς** [00006]
**οὐρανῷ** [00004]
**οὐρανῶν** [00085] [00100]
**οὗτος** [00069]
**οὕτως** [00015] [00057]
**Οὐχ** [00085]
**οὐχ** [00025] [00037] [00041] [00053] [00072]
**ὀφθαλμοῖς** [00097]
**ὀφθαλμοὺς** [00066]

**πάθεσιν** [00092]
**Παλαιὸς** [00007]
**πάλιν** [00018] [00030]
**πᾶν** [00095]
**παναγίῳ** [00101]
**πάντα** [00008] [00048] [00050] [00062] [00088] [00097]
**πάντας** [00015] [00032] [00034] [00050] [00068] [00100]
**πανταχόθεν** [00004]
**πανταχοῦ** [00008]
**παντελῆ** [00100]
**παντὸς** [00035] [00089]
**πάντων** [00002] [00026] [00034] [00062]
**παρ** [00003] [00004]
**παρὰ** [00041]
**παρακύπτοντας** [00003]
**παρανομίας** [00012]
**παραστήσω** [00017]
**παρατρέχουσα** [00048]
**παρειστήκεισαν** [00004] [00008]
**παρεῖχες** [00038]
**παρειῶν** [00069] [00078]
**παρελεύσεται** [00006] [00096]
**Παρῆλθεν** [00050]
**παρῆλθεν** [00048] [00088]
**παρισταμένην** [00019]
**παρίστανται** [00013]
**παρίστασθαι** [00003]
**παρόντα** [00010]
**Πᾶσά** [00013]
**πᾶσα** [00005] [00062]
**πᾶσαν** [00012] [00019] [00088]
**Πάσης** [00092]
**πάσης** [00004] [00012] [00092]
**πᾶσι** [00002] [00002] [00066]
**πᾶσιν** [00099]
**πάσχουσι** [00090]
**Πατρὶ** [00101]
**ΠΑΤΡΟΣ** [00001]
**παυσόμεθα** [00052]
**παχύν** [00023]
**πεποιηκότος** [00065]
**Περὶ** [00055]
**περὶ** [00002] [00056]
**περιλαβεῖν** [00090]
**περιλαμβάνουσα** [00008]
**περιπατοῦμεν** [00002]
**περιπείραντας** [00027]
**πήξει** [00066]
**πήξεως** [00079]
**πιεζομένων** [00029]
**πικρὸν** [00029]
**πικρῶς** [00033]
**πιστῶς** [00007]
**πλέον** [00031]
**πλοῦτος** [00047]
**Πνεύματι** [00101]
**πόδας** [00092]
**πόθον** [00100] [00101]
**ποιήσεως** [00030]
**ποιοῦντα** [00100]
**πολιορκία** [00040]

**πολιτείας** [00092]
**Πολλοὶ** [00004]
**πολλοῖς** [00063]
**πολλοὺς** [00003]
**πονηροτέραν** [00072]
**πονηρῶν** [00060] [00094]
**πόνων** [00029]
**πορείας** [00049]
**πόσιν** [00079]
**ποταμὸς** [00009]
**Ποῦ** [00068]
**πράγματα** [00035] [00057]
**πρακτικὰς** [00092]
**πράξεις** [00014] [00019] [00101]
**πράξεσιν** [00091]
**πράξεως** [00086]
**πράου** [00026]
**πράως** [00019]
**πρὸ** [00002]
**προ** [00073]
**προεκρίναμεν** [00067]
**προετιμήσαμεν** [00062]
**πρόθεσιν** [00076]
**προθεσμίαν** [00030]
**προκαθέζεται** [00019]
**προξενοῦν** [00067]
**πρὸς** [00004] [00005] [00013] [00019] [00030] [00034] [00034] [00065] [00068] [00071] [00098]
**ΠΡΟΣ** [00001]
**προσ** [00019] [00054]
**προσδοκᾷν** [00030]
**προσδοκώμενος** [00097]
**προσελόμενοι** [00042]
**προσέσχομεν** [00038]
**προσέχειν** [00042]
**πρόσκαιρον** [00065]
**προσκαίρου** [00077]
**προσφερομένους** [00033] [00034]
**προσφορὰν** [00079]
**πρόσφορον** [00060]
**πρόσωπόν** [00017]
**προσώπου** [00025] [00026]
**προτιμήσαντες** [00070]
**προτρεπόμενον** [00101]
**πταισμάτων** [00035]
**πυθμένος** [00024]
**πῦρ** [00012] [00012] [00012] [00020] [00021] [00050] [00077] [00080]
**πυρὶ** [00080]
**πυρὸς** [00008] [00009] [00077] [00080]
**Πῶς** [00060]
**πῶς** [00002]

**ῥᾳθυ** [00060]
**ῥήμασι** [00066]
**ῥήματα** [00056]
**ῥιζηδὸν** [00006]
**ῥιφῶ** [00092]
**ρον** [00026]

**σάλπιγξ** [00095]
**σαμεν** [00062]
**σαν** [00028] [00050]
**σαρκὸς** [00060] [00067] [00068] [00080]
**σὰς** [00039]
**σβεστηρίων** [00080]
**σε** [00017] [00041]
**σεμνὸν** [00063]
**σιγὴν** [00081]
**σκαμβή** [00074]
**σκαμβότητα** [00072]
**σκαμβώσαντος** [00078]
**σκιὰ** [00048]
**σκο** [00092]
**σκολιώσαντος** [00078]
**Σκοπήσωμεν** [00002]
**σκοπιὰ** [00062]
**σκότος** [00010] [00061] [00077]
**σκότους** [00023] [00077] [00092]
**σκώληκα** [00071] [00072] [00077] [00082]
**σκώληκος** [00022] [00078] [00083]
**σκώληξ** [00010]
**σοῦ** [00041]
**σου** [00017] [00017] [00036] [00037] [00051]
**σοφίαν** [00042]
**σοφίας** [00081]
**σπερμάτων** [00042]
**σπλάγχνα** [00033]
**σταθήσιν** [00019]
**στάσει** [00020]
**στεναγμοὺς** [00033]
**στενόν** [00067]
**στενότητα** [00079]
**στενοχωρίαν** [00030]
**στοιχεῖα** [00006]
**συγκλεισμόν** [00099]
**συκοφαντίας** [00071]
**συμβέβληται** [00047]
**συμβραζομένην** [00024]
**σὺν** [00094] [00101]
**συν** [00005]
**συναλλαγμάτων** [00060]
**συναποστρέφεται** [00027]
**συνειδήσεως** [00016]
**συνείδησιν** [00028]
**συνεῖναι** [00094]
**συνεφθείραμεν** [00088]
**συνέχει** [00083]
**συνέχοντα** [00058]
**συνεχῶς** [00059]
**σύνολον** [00043]
**συντέλειαν** [00096]
**σύντονον** [00067]
**σφοδρῶς** [00057]

**σώματος** [00098]
**σῶσον** [00093]
**σωτήριον** [00100]
**σωτηρίων** [00070]

**τὰ** [00004] [00006] [00007] [00008] [00018] [00019] [00033] [00035] [00056] [00057] [00058] [00062] [00062] [00062] [00062] [00066] [00076] [00092]
**ταβολῆς** [00019]
**ταγμάτων** [00019]
**ταῖς** [00013] [00029] [00066]
**τάλας** [00091]
**ταπεινοφροσύνης** [00067]
**τάρταρον** [00024] [00066]
**τάρταρος** [00010]
**τὰς** [00003] [00015] [00016] [00017] [00019] [00033] [00039] [00092] [00101]
**ταῦτα** [00052] [00090]
**ταύτην** [00060]
**ταύτης** [00092] [00093]
**τε** [00003] [00004] [00007] [00007] [00008] [00012] [00013] [00013] [00013] [00023] [00025] [00027] [00034] [00064] [00066] [00067] [00067] [00071] [00071] [00077] [00081] [00100]
**τεινὴν** [00092]
**τεκμήριον** [00049]
**τέλειαν** [00005]
**Τελευταῖον** [00031]
**τέλος** [00030]
**τες** [00003]
**τεταγμένων** [00025]
**τῇ** [00004] [00028]
**τηγανίζεσθαι** [00080]
**Τὴν** [00070]
**τὴν** [00005] [00011] [00013] [00016] [00019] [00019] [00020] [00024] [00026] [00028] [00030] [00032] [00046] [00058] [00060] [00065] [00065] [00066] [00067] [00067] [00068] [00078] [00079] [00081] [00081] [00083] [00086] [00086] [00087] [00088] [00090] [00096] [00101]
**τῆς** [00003] [00004] [00013] [00016] [00029] [00029] [00030] [00033] [00034] [00042] [00045] [00060] [00060] [00060] [00063] [00064] [00067] [00067] [00067] [00068] [00069] [00070] [00070] [00071] [00072] [00076] [00080] [00080] [00080] [00081] [00081] [00085] [00087] [00089] [00090] [00091] [00092] [00092] [00093] [00095] [00100] [00100]
**Τί** [00081]
**τί** [00002]
**τίμιον** [00100]
**τιμωρίαν** [00079]
**Τίς** [00021] [00023] [00024] [00025] [00026] [00028] [00029] [00030] [00033] [00034]
**τίς** [00022] [00029] [00047] [00091]
**τις** [00095]
**τίσιν** [00091]
**τὸ** [00003] [00003] [00019] [00020] [00020] [00021] [00022] [00023] [00025] [00025] [00026] [00029] [00030] [00032] [00032] [00043] [00050] [00061] [00063] [00064] [00067] [00071] [00072] [00080] [00082] [00095] [00101]
**τοιγαροῦν** [00039] [00075]
**τοιούτους** [00027] [00042]
**τοῖς** [00019] [00020] [00020] [00066] [00088] [00092]
**τὸν** [00024] [00027] [00029] [00029] [00034] [00034] [00061] [00066] [00071] [00081] [00082] [00088] [00094] [00094] [00094] [00100] [00100] [00101]
**τόν** [00100]
**τοσούτοις** [00027]
**Τότε** [00035]
**τότε** [00056]
**ΤΟΥ** [00001]
**τοῦ** [00002] [00022] [00023] [00023] [00025] [00025] [00026] [00026] [00030] [00043] [00060] [00060] [00065] [00065] [00069] [00071] [00073] [00073] [00078] [00080] [00081] [00081] [00081] [00082] [00083] [00084] [00092] [00098]
**τοὺς** [00027] [00029] [00032] [00033] [00033] [00042] [00066] [00071] [00080] [00101]
**τους** [00045]
**Τοῦτο** [00059]
**τοῦτο** [00025] [00044] [00050] [00061] [00095]
**τούτοις** [00013] [00060] [00094]
**τοῦτον** [00066] [00071] [00081] [00094]
**τούτου** [00083]
**τούτῳ** [00080]
**τούτων** [00055] [00056]
**τρίβοις** [00044]
**τρίβους** [00045]
**τρόμου** [00013]
**τροπαίως** [00048]
**τρόποις** [00063]
**τρυχόμενοι** [00066]
**τύπῳ** [00090]
**τυχὸν** [00032]
**τύχωμεν** [00101]
**τῷ** [00020] [00066] [00072] [00072] [00080] [00101] [00101]
**τῶν** [00003] [00005] [00007] [00014] [00019] [00020] [00025] [00026] [00028] [00029] [00029] [00029] [00033] [00034] [00034] [00034] [00035] [00042] [00055] [00055] [00060] [00060] [00060] [00062] [00067] [00069] [00069] [00070] [00079] [00080] [00081] [00083] [00085] [00086] [00086] [00088] [00094] [00094] [00097] [00100] [00100] [00101] [00101] [00101]

**ὕδωρ** [00048]
**ὑμνῳδοί** [00081]
**ὑπάρχων** [00092]
**ὑπὲρ** [00013]
**ὑπερβάλλουσαν** [00067]
**ὑπερηφανία** [00068]
**ὑπερηφανίαν** [00067]
**ὑπερηφανίας** [00079]
**ὑπηκούομεν** [00053]
**ὑπηκούσαμέν** [00037]
**ὑποκρίσεως** [00071]
**ὑποστήσεται** [00024] [00028]
**ὑποτρέμει** [00025]
**ὑψηλῆς** [00067]
**ὑψηλῶν** [00067]
**ὑψηλῶς** [00019]
**ὕψους** [00079]

**φαινόμενον** [00003]
**φαινόμενος** [00096]
**φανερώσει** [00028]
**φανέρωσιν** [00013]
**φανῆναι** [00027]
**φανήσεται** [00097]
**φανῶσι** [00035]
**φάσεως** [00060]
**φαῦλον** [00098]
**φέγγος** [00092]
**φέρειν** [00023]
**φησὶ** [00017]
**φήτου** [00073]
**φθόνος** [00071]
**φθόνου** [00071]
**φιλάνθρωπον** [00027]
**φιλανθρώπου** [00026]
**φιλαπεχθήμονα** [00027]

**φοβερά** [00095]
**φοβερᾷ** [00004] [00070]
**φοβερὰν** [00013] [00060]
**φοβερᾶς** [00091]
**φοβερὸν** [00031] [00032] [00099]
**φοβηθήσεται** [00026]
**φόβον** [00100] [00100]
**φόβος** [00011]
**φύσει** [00026] [00027]
**φύσιν** [00081]
**φωνὴν** [00095]
**φωτὸς** [00065] [00081]

**χάριν** [00087]
**χεῖρας** [00092]
**χιλιάδες** [00008]
**Χίλιαί** [00008]
**Χριστὲ** [00093]
**Χριστῷ** [00101]
**χωρὶς** [00034]

**ψεῦδος** [00082]
**ψεύδους** [00071] [00072] [00078]
**ψῆφον** [00032]
**ψιλῆς** [00004]
**ψόφον** [00078]
**ψόφου** [00069]
**ψόφους** [00078]
**ψυχὰς** [00003]
**ψυχὴν** [00066]
**ψυχῆς** [00071] [00092]

**ὢ** [00060] [00060] [00060] [00060]
**Ὢ** [00060] [00069] [00080]
**ᾧ** [00101]
**ὠθεῖται** [00005]
**ὧν** [00014] [00071] [00071] [00075] [00090]
**ὡς** [00004] [00016] [00027] [00048] [00048] [00048] [00049] [00081] [00090] [00092] [00095]
**ὡσεὶ** [00008]
**ὥστε** [00015]
**ὦτα** [00066]